# The continuation of *Did.* 16 in *Apostolic Constitutions* Book VII

| *Did.* 16 | *Const.* VII |
|---|---|
| 16.3 Ἐν γὰρ ταῖς ἐσχάταις ἡμέραις<br>πληθυνθήσονται οἱ ψευδοπροφῆται<br>καὶ οἱ φθορεῖς,<br>καὶ στραφήσονται τὰ πρόβατα εἰς λύκους καὶ ἡ ἀγάπη στραφήσεται<br>εἰς μῖσος· | 32.1 Ἐν γὰρ ταῖς ἐσχάταις ἡμέραις<br>πληθυνθήσονται οἱ ψευδοπροφῆται<br>καὶ οἱ φθορεῖς τοῦ λόγου,<br>καὶ στραφήσονται τὰ πρόβατα εἰς λύκους καὶ ἡ ἀγάπη<br>εἰς μῖσος· |
| 16.4a Αὐξανούσης γὰρ τῆς ἀνομιας,<br><br>μισήσουσιν ἀλλήλους<br><br>καὶ διώξουσι καὶ παραδώσουσι. | πληθυνθείσης γὰρ τῆς ἀνομιας,<br>ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν,<br>μισήσουσιν γὰρ ἀλλήλους<br>οἱ ἄνθρωποι<br>καὶ διώξουσι καὶ προδώσουσι. |
| 16.4b καὶ τότε φανήσεται ὁ κοσμοπλανὴς<br>ὡς υἱὸς θεοῦ<br>καὶ ποιήσει σημεῖα καὶ τέρατα,<br>καὶ ἡ γῆ παραδοθήσεται εἰς χεῖρας αὐτοῦ, καὶ ποιήσει ἀθέμιτα, ἃ οὐδέποτε γέγονεν ἐξ αἰῶνος. | 32.2 καὶ τότε φανήσεται ὁ κοσμοπλανος, |
| | ὁ τῆς ἀληθείας ἐχθρός, ὁ τοῦ ψεύδους προστάτης, ὅν ὁ Κύριος Ἰησοῦς ἀνελεῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ ὁ διὰ χειλέων αναιπῶν ἀσεβῆ· |
| 16.5 Τότε ἥξει ἡ κτίσις τῶν ἀνθρώπων εἰς τὴν πύρωσιν τῆς δοκιμασίας,<br>καὶ σκανδαλισθήσονται πολλοὶ καὶ ἀπολοῦνται,<br>οἱ δὲ ὑπομείναντες ἐν τῇ πίστει αὐτῶν<br>σωθήσονται ὑπ' αὐτοῦ τοῦ καταθέματος. | καὶ σκανδαλισθήσονται πολλοὶ ἐπ' αὐτῳ,<br>οἱ δὲ ὑπομείναντες εἰς τέλος, οὗτοι<br>σωθήσονται. |
| 16.6 Καὶ τότε φανήσεται τὰ σημεῖα τῆς ἀληθείας·<br>πρῶτον σημεῖον ἐκπετάσεως ἐν<br>οὐρανῷ,<br>εἶτα σημεῖον φωνῆς σάλπιγγος,<br>καὶ τὸ τρίτον ἀνάστασις νεκρῶν· | 32.3 Καὶ τότε φανήσεται<br>τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ<br>οὐρανῳ,<br>εἶτα φωνὴ σάλπιγγος ἔσται δι' ἀρχαγγέλου καὶ μεταχὺ ἀναβίωσις τῶν κεκοιμημένων. |
| 16.8 Τότε ὄψεται ὁ κόσμος τὸ κύριον ἐρχόμενον<br><br>ἐπάνω τῶν νεφελῶν τοῦ οὐρανοῦ ... | 32.4a Καὶ τότε ἥξει ὁ Κύριος καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ ἐν συσσεισμῷ<br>ἐπάνω τῶν νεφελῶν μετ' ἀγγέλων δυνάμεως αὐτοῦ<br>32.4b ἐπὶ θρόνου βασιλείας,<br>32.4c κατακρῖναι τὸν κοσμοπλάνον διάβολον<br>32.4d καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ.<br>32.5a Τότε ἀπελεύσονται οἱ μέν πονηροὶ εἰς αἰώνιον κόλασιν, οἱ δὲ δίκαιοι πορεύσονται<br>εἰς ζωὴν αἰώνιον,<br>32.5b κληρονομοῦντες ἐκεῖνα,<br>32.5c ἃ ὀφθαλμὸς οὐκ εἶδεν<br>καὶ οὖς οὐκ ἤκουσεν<br>καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν,<br>32.5d καὶ χαρήσονται ἐν βασιλείᾳ τοῦ θεοῦ τῇ ἐν Χριστῷ Ἰησοῦ. |

*Didache*'s conflation of Zech. 14.5 and Dan. 7.13

| Zech. 14.5 | Dan. 7.13 |
| --- | --- |
| Καὶ ἥξει κύριος ὁ θεός μου,<br>καὶ πάντες οἱ ἅγιοι μετ᾽ αὐτοῦ | … ἐπι τῶν νεφελῶν τοῦ οὐρανοῦ<br>ὡς υἱος ἀνθρώπου ἤρχετο, |

Did. 16.8 τότε ὄψεται ὁ κόσμος
τὸν κύριον ἐρχόμενον ἐπάνω τῶν νεφελῶν τοῦ οὐρανοῦ,
καὶ πάντες οἱ ἅγιοι μετ᾽ αὐτοῦ

AJP Garrow, *The Gospel of Matthew's Dependence on the* Didache, (T&T Clark, 2004) p. 49